φήμας τ' ἀγαθὰς τοῖς ἐθέλουσιν
μαντεύεσθαι
γλώσσης ἰδίας ἀποφαίνειν.
ἡμεῖς δὲ, πόνους οὓς ἐκ παιδὸς
μοχθοῦμεν ἀεὶ, πτόρθοισι δάφνης
στέφεσίν θ' ἱεροῖς ἐσόδους Φοίβου
καθαρὰς θήσομεν ὑγραῖς τε πέδον
ῥανίσιν νοτερὸν, πτηνῶν τ' ἀγέλας,
αἳ βλάπτουσιν
σέμν' ἀναθήματα, τόξοισιν ἐμοῖς
φυγάδας θήσομεν· ὡς γὰρ ἀμήτωρ
ἀπάτωρ τε γεγὼς τοὺς θρέψαντας
Φοίβου ναοὺς θεραπεύω.
ἄγ' ὦ νεηθαλὲς ὦ — στρ.
καλλίστας προπόλευμα δάφνας,
ἃ τὰν Φοίβου θυμέλαν
σαίρεις ὑπὸ ναοῖς
κήπων ἐξ ἀθανάτων,
ἵνα δρόσοι τέγγουσ' ἱεραὶ
†τὰν ἀέναον παγὰν
ἐκπροϊεῖσαι
μυρσίνας ἱερὰν φόβαν,
ᾇ σαίρω δάπεδον θεοῦ
παναμέριος ἅμ' ἀελίου πτέρυγι θοᾷ
λατρεύων τὸ κατ' ἦμαρ.
ὦ Παιὰν ὦ Παιὰν,
εὐαίων εὐαίων
εἴης, ὦ Λατοῦς παῖ.
καλόν γε τὸν πόνον, ὦ — ἀντ.
Φοῖβε, σοὶ πρὸ δόμων λατρεύω,
τιμῶν μαντεῖον ἕδραν·
κλεινὸς δ' ὁ πόνος μοι,
θεοῖσιν δούλαν χέρ' ἔχειν,
οὐ θνατοῖς, ἀλλ' ἀθανάτοις·
εὐφάμοις δὲ πόνοις μοχθεῖν
οὐκ ἀποκάμνω.